εἰ δή τις λέγοι, ὁ κατὰ τὸ ἡδὺ φιλῶν, οὐκ ἔστι φίλος τούτῳ· οὐ γὰρ κατὰ τὸ ἀγαθὸν φίλος ἐστί, βαδίζει ὁ τοιοῦτος ἐπὶ τὴν τῶν σπουδαίων φιλίαν, τὴν ἐξ ἁπάντων τούτων οὖσαν, ἐκ τοῦ ἀγαθοῦ, καὶ ἐκ τοῦ ἡδέος, καὶ ἐκ τοῦ συμφέροντος. ὥστ' ἀληθῶς οὐκ ἔστιν ἐκείνην γε τὴν φιλίαν φίλος, ἀλλὰ τὴν κατὰ τὸ ἡδὺ, ἢ κατὰ τὸ συμφέρον. πότερον οὖν ἔσται ὁ σπουδαῖος τῷ σπουδαίῳ φίλος, ἢ οὔ; οὐδὲν γὰρ προσδεῖται φησὶν ὅμοιος τοῦ ὁμοίου. ὁ δὴ τοιοῦτος λόγος ζητεῖ τὴν κατὰ τὸ συμφέρον φιλίαν. ᾗ γὰρ προσδεῖται ὁ ἕτερος τοῦ ἑτέρου, ταύτῃ ὄντες φίλοι, ἐν τῇ κατὰ τὸ συμφέρον φιλίᾳ εἰσίν. ἀλλ' ἐπεὶ διώρισται ἡ κατὰ τὸ συμφέρον φιλία, καὶ ἡ κατ' ἀρετὴν καὶ ἡδονήν. εἰκὸς δὴ καὶ πολὺ μᾶλλον τούτοις· πάντα γὰρ αὐτοῖς ὑπάρχει τἀγαθὰ, καὶ τὸ ἡδὺ, καὶ τὸ συμφέρον. ἀλλὰ καὶ ὁ σπουδαῖος τῷ φαύλῳ· ᾗ γὰρ ἴσως ἡδὺς, ταύτῃ καὶ φίλος. καὶ ὁ φαῦλός γε τῷ φαύλῳ· ᾗ γὰρ ἴσως τὸ αὐτὸ αὐτοῖς συμφέρει, ταύτῃ καὶ φίλοι. ὁρῶμεν γὰρ τοῦτο γινόμενον, ὅταν τὸ αὐτὸ ᾖ τὸ συμφέρον, φίλοις τούτοις διὰ τὸ συμφέρον. ὥστ' οὐδὲν κωλύει καὶ φαύλοις οὖσι, ταὐτόν τι συμφέρειν. βεβαιοτάτη μὲν καὶ μονιμωτάτη καὶ καλλίστη ἐστὶν ἐν τοῖς σπουδαίοις φιλία, ἡ κατ' ἀρετὴν καὶ τἀγαθὸν οὖσα· εἰκότως. ἡ μὲν γὰρ ἀρετὴ ἀμετάπτωτον, δι' ἣν ἡ φιλία· ὥστε εἰκὸς τὴν φιλίαν τὴν τοιαύτην ἀμετάπτωτον εἶναι. τὸ δὲ συμφέρον, φιλία οὐ βεβαία, ἀλλὰ τῷ συμφέροντι μεταπίπτει· ὁμοίως καὶ ἡ κατὰ τὴν ἡδονήν. ἡ μὲν οὖν τῶν βελτίστων φιλία, ἡ κατ' ἀρετὴν γιγνομένη ἐστίν· ἡ δὲ τῶν πολλῶν, ἡ κατὰ τὸ συμφέρον· ἡ δὲ κατὰ τὴν ἡδονὴν, ἐν τοῖς φορτικοῖς καὶ τυχοῦσι. συμβαίνει δὲ καὶ ἀγανακτεῖν, ὅταν φαύλοις ἐντύχωσι τοῖς φίλοις, καὶ θαυμάζειν· ἔστι δὲ οὐδὲν ἄτοπον. ὅταν γὰρ ἡ φιλία λάβῃ τὴν ἡδονὴν ἀρχὴν, δι' ἣν φίλοι εἰσὶ, ἢ τὸ συμφέρον, ἅμα ταῦτ' ἀπολείπει, καὶ ἡ φιλία διαμένει. πολλάκις δὲ μένει μὲν ἡ φιλία, κακῶς δ' ἐχρήσατο τῷ φίλῳ· διὸ ἀγανακτοῦσιν. ἔστι δὲ οὐδὲν τοῦτο ἄλογον. οὐδὲ γὰρ δι' ἀρετὴν ἡ φιλία σοι πρὸς τοῦτον ὑπῆρχε. διὸ οὐδὲν ἄτοπον μηδὲν ποιεῖν αὐτὸν τῶν κατ' ἀρετήν· ἀγανακτοῦσιν οὖν οὐκ ὀρθῶς. δι' ἡδονὴν γὰρ ποιησάμενοι τὴν φιλίαν, τὰ τῆς ἀρετῆς οἴονται δεῖν αὐτοῖς ὑπάρχειν· τὸ δ' οὐ δυνατόν. οὐ γάρ ἐστιν ἡ διὰ ἡδονὴν καὶ τὸ συμφέρον,

A Quòd si quis dicat, qui propter iucundum amat, ei amicus non est, quandoquidem non propter bonum amicus est: is in amicitiam proborum demigrat, quæ ex his omnibus constat, quippe ex bono, & iucundo, & ex commodo: proinde non est verè ex illa amicitia amicus, quæ propter iucundum, vel propter commodum. Vtrum igitur erit probus probo amicus, an non? siquidem non eget (inquit) similis simili. Hæc nimirum oratio, propter commo- B dum indagat amicitiam: nam quatenus alter altero indiget, eatenus sunt amici, quatenus propter commodum concilian tur. Cùm aliter definiatur quæ propter commodum amicitia, & quæ propter virtutem, & quæ propter voluptatem: æquum vtique hos multò magis amicos esse, qui virtute conciliantur: cuncta siquidem ipsis bona existunt, & iucundum, & commodum. Cæterùm etiam probus ma- C lo: nam quatenus fortassis iucundus est, eatenus etiam amicus. Et malus malo: nam quatenus idem fortè ipsis commodum, eatenus amici sunt. Fieri nanque intuemur, cùm idem fuerit commodum, eos ob commodum conciliari. Proinde nihil prohibet, etiam malis aliquod commodum idem esse. Constantissima verò, ac stabilissima, & honestissima, quę inest probis, amicitia: quippe quòd propter virtu- D tem, ac per se bonum, & meritò quidem. Nam virtus incommutabilis, & quæ per eam conciliatur amicitia, constantissima est. At quæ ex commodo, stabilis non est amicitia, quippe quæ cum commodo elabitur. Similiter etiam quæ propter voluptatem. Optimorum igitur amicitia, per virtutem excitata est: multorum autem, quæ propter commodum: at quæ propter voluptatem, in hominibus ineptis reperitur & nihili. Contingit autem etiam indi- E gnari cum malis amicis, pariterque admirari. Est verò non absurdum, cùm amicitia principium ceperit voluptatem, propter quod amici sunt, itidem & commodum. Simul enim atque hæc deficiunt, neutiquam etiam perdurauerit amicitia. At sæpe perstat quidem amicitia, verùm abusus amico est: ideo indignatur, neque id iniuria. Non enim propter virtutem F cùm hoc tibi fuerat conciliata, vt alienum non videatur, nihil esse ex virtute. Quam ob rem non rectè indignantur, qui amicitiam per voluptatem conciliarunt, quòd existiment ipsam per virtutem duraturam: quod fieri non potest: non enim quæ propter voluptatem